Πραξαγόρας δ΄ ὄνομ΄ ἔσχον ἐπικλεές·
ὃν πρὶν ἐπ΄ ἀνδρῶν
θήκατο Λαγείδας κοίρανος ἀγεμόνα.

Ἡ Κρήτη εἶν' ἡ πατρίδα μου, ὁδοιπόρε·
ἡ μάνα ποὺ μὲ γέννησε
ἡ Νικώ, κι ὁ Σωσιάναξ ἦταν ὁ δικός μου ὁ πατέρας.
Πραξαγόρας τὸ ὄνομα ποὺ πῆρα τὸ λαμπρό·
ἐμένα πρὶν πολεμιστῶν
διόρισε ὁ Λαγείδης βασιλέας ἀρχηγό.

ΑΚυΓ 12 Ε3 (Λάρνακας Λαπήθου, 3ος αἰ. π.Χ.)

Νουμήνιος Νουμηνίου. | Ἐπειδὴ Νουμήνιος Νουμηνίου,| εὐεργέτης ὢν τῆς πόλεως -
ειαν ποιούμενος τοῦ τε | ἀρχιερέως καὶ τῶν ἱερέων καὶ λόγωι καὶ ἔργωι, | ἔδοξεν Πραξιδήμωι τῶι ἀρχιερεῖ καὶ τοῖς ἱερεῦσι | τοῦ Ποσε[ι]δῶνος τοῦ Ναρνακίου δοῦναι | Νουμηνίωι καὶ ἐγγόνοις ὧν ἂν θύωσιν | ἀτέλε[ι]αν τῶν γερῶν εἰς τὸν ἅπαντα χρόνον. | [Τ]ύχηι τῆι ἀγα[θ]ῆι.

Νουμήνιος Νουμηνίου. Ἐπειδὴ ὁ Νουμήνιος Νουμηνίου, εὐεργέτης ὄντας τῆς πόλεως, συνεχῶς ἔδειχνε κάθε φροντίδα καὶ γιὰ τὸν ἀρχιερέα καὶ γιὰ τοὺς ἱερεῖς καὶ μὲ λόγια καὶ μὲ ἔργα, φάνηκε καλὸ στὸν Πραξίδημο τὸν ἀρχιερέα καὶ στοὺς ἱερεῖς τοῦ Ποσειδώνα τοῦ Ναρνάκιου νὰ δώσουν στὸν Νουμήνιο καὶ τοὺς ἀπογόνους του σ' ὅ,τι θυσιάζουν ἀπαλλαγὴ ἀπὸ τὰ δῶ-ρα στοὺς ἱερεῖς σ' ὅλα ἀνεξαιρέτως τὰ χρόνια. Μὲ τὸ καλό!

ΓΡΑΜΜΙΚΗ Β / ΚΥΠΡΟΣΥΛΛΑΒΙΚΗ ΓΡΑΦΗ

(Ἐπίγραμμα [Ε6] ἀπὸ τοὺς *Γόλγους*,
τῶν ἀρχῶν τῆς Ἑλληνιστικῆς περιόδου)

Η στήλη

ΓΡΑΜΜΙΚΗ Β / ΚΥΠΡΟΣΥΛΛΑΒΙΚΗ ΓΡΑΦΗ
(Ἐπίγραμμα [Ε6] ἀπὸ τοὺς *Γόλγους*,
τῶν ἀρχῶν τῆς Ἑλληνιστικῆς περιόδου)

Χαίρετε.

Γράσθι, [Fά]ναξ, κἀ(π) πῶθι· Fέπο(μ) μέγα μή ποτε Feίσης.
θεοῖς πόρο ἀθανάτοις ἐρεραμένα ΠΑ(Ν)ΤΑΚΟΡΑΣΤΩΣ
(*πάντ᾽ ἀκοράστως*, καὶ *πάντα κοραστῶς*).
οὐγάρ τι ἐπίσταἰς ἀνθρώπωι θεῶι, ἀλ(λ) ᾽ἔτυχ᾽ ἀχὴρ
θεῶι κυμερῆναι πάντα, τὰ ἀνθρώποι φρονέωἰ.
Χαίρετε.

Χαίρετε.
Φάε, ἄρχοντα, καὶ πιές· λόγο μεγάλο ποτὲ μὴν ξεστομί-
σεις. [μεάλον βοῦκκον βάλε τζιαὶ μεάλον λόον μὲν πεῖς] |
Στοὺς θεοὺς ἀνήκει τοὺς ἀθάνατους ὅσα ἀκόρεστα
ποθοῦν νὰ τά᾽ χουν. | Γιατὶ ἰσχὺς καμμιὰ ἀνθρώπου σὲ
θεὸ δὲν εἶναι, μὰ ἔτυχε χέρι | θεοῦ νὰ κυβερνᾶ τὰ πάντα,
ὅσα στ᾽ ἀνθρώπου εἶναι τὸν νοῦ.
Χαίρετε.

Ε24. Ἐπιτύμβιο ἐπίγραμμα γιὰ τὸν Ὁμηροδιδάσκαλο Κιλικᾶ (Λάρνακα [*Κίτιον*], 3ου πιθανῶς αἰ. π.Χ.).

11 E24

Μὴ σπεύσης, ὦ ξεῖνε, παρελθέμεν, ἀλλά με βαιὸν
στῆθι μάθης Κιλικᾶν ἔξοχον ἡιθέων.
ὅς ποθ' Ὁμηρείαισι μετέπρεπον ἐν σελίδεσσιν
δεικνὺς ἡρώων ἠνορέην προτέρων.
εἰ δὲ πάτρην ζητεῖς, Κίτιον μάθε. *πεντάκι δ' ὀκτὼ*
Μοῖρά μ' ἐτῶν ζωῆς νόσφισεν ἠδ' ἑτάρω<ν>.

Μὴ σπεύσεις, ξένε μου, νὰ προσπεράσεις, μὰ λίγο
στάσου νὰ γνωρίσεις τὸν Κιλικᾶ
τὸν ἔξοχο στοὺς νεαρούς.
Κάποτ' ἐγὼ διέπρεπα μέσ' στὶς Ὁμηρικὲς σελίδες
δείχνοντας τῶν ἡρώων τὴν παλληκαριὰ
τῶν προτινῶν.
Κι ἂν τὴν πατρίδα μου ζητᾶς, τὸ Κίτιο μάθε. Σαράντα
ἡ Μοίρα ἐμὲ χρονῶν ἀπ' τὴ ζωὴ μὲ χώρισε
κι ἀπ' τοὺς συντρόφους.

A31: E26 (ΣΑΛΑΜΙΣ [Ἅγιος Σέργιος], 2ος αἰ. π.Χ.

Τύμβε, τίνος τόδε σῆμα; τεὸν ὑπὸ λισσάδα κε[ῖται]
τίς, φράσον, οἰκτροτάταν μοῖραν ἐνεγκάμενο[ς];
Δημώναξ, Σαλαμὶς ὃν ἐθρέψατο παῖδα φέριστον
ἐμπορίαις, πικρὸν δ' εἰς Ἀχέροντ' ἔμολεν
πόντον ἐπιπλώσας ἁλιμυρέα καὶ πολυκλαύτωι
ματέρι καὶ γενέτᾳ στυγνὰ λιπὼν δάκρυα·
οὐχ ἧψαν φῶς γὰρ τὸ γαμήλιον οὐδ' ὑμέναιον
ἔκλαγον, ἀλλὰ γόους ὀκτακαιεικοσέτους.
οὐ κακός ἐστ' Ἀΐδας· πάριθι, ξένε, «χαῖρε» προσείπας,
κοινὸς ἐπεὶ θνατοῖς ὁ πλόος εἰς φθιμένους.

Ε33. Ἐπιτύμβιο ἐπίγραμμα *Σωσιπάτρας Γάμου*
(*Χύτροι* [Ἀφάνεια], περὶ τὰ τέλη τοῦ 2ου αἰ. π.Χ.)

[Ὡς] δ᾽ ἁπαλὸν ῥειπαῖς ἀνεμώδεσιν ἔρνος ἐλαίας
Σωσ[ιπάτρα] ἐκ πατρικῶν ἐξεκόπην θαλάμων.
οὔνομά σοι κενεὸν παρῆν Γάμο[ς]· ἦν γὰρ ἔθρεψες
φροντίσιν ἀδίσταις, νῦν γενόμαν ἄγαμος (…).

Ε27 (ΣΑΛΑΜΙΣ, πιθ. 180-145 [ἴσως 2/1 αἰ.] π.Χ.

Τὸ πρὶν ὁ σὺμ Μούσαις στέρξας βίον ἦλθε πρὸ μοίρας
ἀσκέπτους νεκύων εἰς θαλάμους Φιλέας,
τρισσὸν ἐπ' εἰκοστῶι πλήσας ἔτος· οἱ δὲ ὀλέσαντες
ἐλπίδα τὰν μούναν γηραλέοι γενέται
μύρονται τὸν ἄνυμφον ἀεὶ γόνον. ἀλλὰ τὸν ἁγνόν,
Φερσεφόνη, στείλαις χῶρον ἐς εὐσεβέων.

Αὐτὸς πού 'στερξε πρὶν ζωὴ μὲ Μοῦσες
πρὶν ἀπ' τὴ μοίρα του ἦρθε
στοὺς σκοτεινοὺς τῶν πεθαμένων τοὺς θαλάμους
ὁ Φιλέας,
τριῶν καὶ εἴκοσι χρονῶν· κι αὐτοὶ ποὺ ἀπώλεσαν
τὴ μόνη τους ἐλπίδα οἱ γηραλέοι γονιοὶ
μυρολογοῦν τὸν ἄνυμφο γιὰ πάντα γιό τους. Μὰ τὸν ἁγνὸ
νὰ στείλεις, Περσεφόνη, σὲ χῶρον εὐσεβῶν.

ΑΝΤΙΣΘΕΝΗΣ Ο ΠΑΦΙΟΣ

Ε1 (ΔΗΛΟΣ, περὶ τὸ 100 π.Χ.)

Ἀλκινόου μελάθροισι προσ̣[είκ]ελα δώματα ναίων,
Σίμαλε, τᾶς ἀφελοῦς δ[εῖγμα] φιλοξενίας,
ἁπλόε καὶ ἐμ μύθοισι καὶ [ἐμ βιότω]ι περικαλλεῖ,
προσφιλὲς Αἰγύπτου κ[οιρανί]δ̣αις ἔρυμα
καὶ Ῥώμας ὑπάτοισι καὶ Ἀ[τ]θίδι Κ[έ]κροπος αἴηι
καὶ Δάλου ναέταις πλε[ῖσ]τα σεβ[ι]ζόμενε,
εἴθε χρόνοις κείνοις [σε λοχ]εύσα[το πα]τρὶς ἐραννά,
Τρώων καὶ Δαναῶν ἀνί̣κ̣[α] μέ̣[λπε μ]άχα̣ς
Μαιονίδας, τὰν σὰν ἴν' ἐ[ϋφρο]σ[ύναν ἐσί]δ̣ηι σοι
χρύσεον ἐμ βύβλοις γ[ράμμ' ἀνεγειράμ]ενος·
οὐκ ἂν ὁ Φαιάκων γὰ[ρ ἄναξ τόσον ἤρατο κῦ]δος
ὡς σύ, δόμον ξέν[ιον πᾶσι παρασχόμενος].

Ἀντισθέν[ους Παφίου]

E2 (ΔΗΛΟΣ, περὶ τὸ 100 π.Χ.)

Τ̣ὸν Φοίβ̣ωι νάρ̣δ̣ων χρύσεα ῥ̣υ̣τ̣ὰ δισ̣σ̣ὰ̣ φ̣α̣ε̣ι̣ν̣ὰ̣
θέντα, τὸν αἰγιόχωι *Ζα̣ν̣ὶ π̣ολυ̣σ̣τ̣ό̣μ̣ι̣ο̣ν,*
τὸν *Λατοῦς κούραι τοξαλκ̣έ̣**ται** ἀ̣ξ̣ε̣ί̣ν̣ο̣ι̣**[ο]***
*Σκύλλας δίκρουνον σκεῦος ὀ̣π̣α̣σ̣σ̣ά̣μ̣ε̣**[νον]**,*
τὸν Ῥώμας ναέταις *Κέκροπ̣ό̣ς̣ θ̣' **[ὁμ]**ο̣ῦ̣ ἐ̣κ̣γ̣ε̣**[νέταισιν]***
*δισσὰς τοῖς δισσοῖς π̣α̣σ̣τ̣ά̣δας ἀρ̣ά̣**[μενον]**·*
*τόνδε λαχόντα τοκῆϊ Φιλόστρατον οὔ̣νομ̣**[α ταὐτὸ]***
θέντο Παλαιστίνας ἀστὸν ἀριπρε[πέα]
Ἰταλὸν ἂν τέμενος τέκνωι [Φ]ιλαδ[έλφωι ἁμαρτῆι]
τᾶς ὑπάτας ναέται πίονος ἄ[γχ' ἀδύτου]
Δᾶλον ἀν' ἱμερτὰν *Φοίβωι γέ̣**[ρ]α[ς, οὕνεκα νείκους]***
*κραίνων εὐδικίας πρᾶτον ἔ̣**[παυσε πόλιν]**.*
Ἀντισθένους Παφίου με[λοποιοῦ]

43 T1: B42. Α Ρ Τ Ε Μ Ι Δ Ω Ρ Ο Σ

(Τιμητικὴ ἐπιγραφὴ ΚΙΤΙΟΥ, τοῦ 1ου αἰ. μ.Χ.)

Ἡ πόλις [ἡ Κιτιέων] | Ἀρτεμίδω[ρον Ἀρίστωνος ?] | τοῦ Ἀρτεμ[ιδώρου τὸν] | ἰατρὸν τει[μῆς χάριν].

Ι-Ι Π Ο Λ Ι Σ
Α Ρ Τ Ε Μ Ι Δ ς
Τ Ο Υ Α Ρ Τ Ε Λ
Ι Α Τ Ρ Ο Ν Τ Ε Ι

‘Η πόλις [Κιτιέων]
’Αρτεμίδ[ωρον]
τοῦ ’Αρτε[μιδώρου]
ἰατρὸν τει[μῆς ἕνεκεν].

[Εικ. 92] ΑΠΟΓΡΑΦΟ
ΚΑΙ ΚΕΙΜΕΝΟ PERDRIZET
(*BCH* 20 [1896] 341 ἀρ. 7)

Κίτιον, τέλη 1ου αἰ. μ.Χ.:
(*ΑΚυΓ*1β′ σελ. 144 μὲ σημ. 109)

Ἡ πόλις (sc. *Κιτιέων*)
Σώδαμον Σωδάμ[*ου*]
τ[*ὸν*] *φιλόπατριν τὸν γυμν*[*α*]-
[*σι*]*αρχήσαντα καὶ ἀγορ*[*ανο*]-
μήσαντα καὶ τὸ θέατρ[*ον*]
κατασκευάσαντα ἐκ θ[*ε*]-
[*μελίων καὶ τὰ ἐν αὐτ*[*ῶι*]
[*ἰδί*]*οις ἀναλώμ*[*ασι*].

11 E37: A38 (ΚΙΤΙΟΝ, 2/3 αἰ. μ.Χ.)

Ἐπίγραμμα ἐπιτύμβιο, χαραγμένο σὲ στήλη ἀπὸ λευκὸ μάρμαρο, μὲ 3 λυρικοὺς στίχους σὲ μέτρο ἀναπαιστικό (καὶ στὸ τέλος ἕνα πεζὸ κείμενο, ποὺ ἀποτελεῖ ἀπαγόρευση γιὰ ἀπόθεση ἄλλου νεκροῦ στὸν τάφο). Ἐμφανίζεται νὰ μιλᾶ ὁ ἴδιος ὁ νεκρός, ὅπως καὶ σὲ πολλὰ ἄλλα κυπριακὰ ἐπιγράμματα, ἀλλὰ ἐδῶ γίνεται ἀναφορὰ σὲ μελλοντικὸ θάνατο. Ἴσως ὁ ἄγνωστος ποιητὴς ἔγραψε τὸ ἐπίγραμμα αὐτὸ πρὶν ἀπὸ τὸν θάνατό του. [Πβ. Ν. Καζαντζάκη.]

Ἐν ἀρώμασι καὶ στεφάνοι<ς> ῥοδίνοις
καὶ σινδόνι λεπτοφυῆ τρυφερᾶ,
οὕτω θέτε μ[ε], ἂν ἀποθά[νω]. (...)

Β47 [ΑΝΘΟΛΟΓΙΟ ΑΡΧΑΙΑΣ ΚΥΠΡΙΑΚΗΣ ΓΡΑΜΜΑΤΕΙΑΣ: Ἡ παράσταση τοῦ ἐξωφύλλου] = 12 Ε9 (ΕΓΚΩΜΗ, 2/3 αἰ. μ.Χ.)

Κύριε Ἥλιε, |
ὡς δικαίως ἀνατέλ|λις,
μὴ λάθοιτό σε |
ὁ ἐπίβουλος γενά|μενος
τῆς ψυχῆς | Καλλιόπης,
ἀλλὰ ἐπί|πεμψον αὐτῷ
τὰς στε|ναχὰς
τῶν βιαθανά|των.
Καλλιόπη χρησ|τή, |
<ἦ> ἐθάνη L κη′.

(...) Ἡ Καλλιόπη ἡ χρηστή,
ποὺ πέθανε ἐτῶν 28.

A41: E48 (ΝΕΑ ΠΑΦΟΣ, 2/3 αἰ. μ.Χ.)

[Κρί]σπιον εἰκοσέτη, χρυσέω[ι κ]οσ[μούμενον ἤθει],
μ[ου]νογενῆ, τοκέων βάκτρον ἓν ἀμφοτέρων,
ὤλεσε συνθραύσας δαίμων βαρύς· οἱ δὲ φέρονται
ἀσκείπωνι γονῆι γῆρας ἐρειδόμενοι,
Τερτία ἠδ' ὁ τάλας Διονύσιος, οὓς ἀτέκμαρτος
δεῖγμα Τύχη θνητοῖς θῆκεν ἀνωμαλιῶν.
ἦ ῥα θεοῖς οὐκ ἔστι βροτῶν λόγος, ἀλλ' ἅτε θῆρες
αὐτομάτωι ζωῆι κυρόμεθ' ἢ θανάτωι.

Τὸν Κρίσπιο εἴκοσι χρονῶν, χρυσὸ ποὺ τὸν κοσμοῦσε ἦθος,
μονογενῆ, τῶν γεννητόρων στήριγμα μοναδικὸ τῶν δυό,
ἀφάνισε συντρίβοντας δαίμων βαρύς· κι ἐτοῦτοι σέρνονται
σὲ ἀστήρικτη γενιὰ στηρίζοντας τὸ γῆρας,
ἡ Τερτία κι ὁ ταλαίπωρος Διονύσης, ποὺ ἁπρόσμενη
γιὰ τοὺς θνητοὺς δεῖγμ' ἀνωμαλιῶν ἔκαμ' ἡ Τύχη.
Ἀλήθεια, στοὺς θεοὺς δὲν εἶναι τῶν ἀνθρώπων λόγος,
μὰ σὰν θεριὰ σ' αὐτόματη ζωὴ συρόμαστε ἢ θάνατο.

ΑΥΡΗΛΙΟΣ ΑΡΙΣΤΩΝ

Ἀρτέ|μιδι | Παραλί|α εὐξά|μενος | Αὐρήλιος | Ἀρίστων |ἰατρὸς ἄρ|ξας ὑπὲρ | θυγατρὸς | Αὐρ. Ὀνησι|μιανῆς τῆ|ς καὶ Ὀλυμ|πιανῆς.

(Ἐπιγραφὴ ἀπὸ τὸ *Κίτιον*, 2 / 3 αἰ. μ.Χ. *Ἐθνικὴ Βιβλιοθήκη Παρισίων, Collection Froehner*)

E49 (ΠΑΦΟΣ [Γεροσκήπου],
τέλη 3ου αἰ. μ.Χ.)
ΜΗΤΑCCΟΥ = *μετὰ σοῦ*, «μητά σου»

A42: E49 (ΠΑΦΟΣ [Γεροσκήπου], τέλη 3ου αἰ. μ.Χ.)

Ὦ τέκνον, ὃς πᾶσίν τε βροτοῖ<ς> πᾶ{ι}σίν τε θεοῖσιν
ζηλωτὸς ἐγένου καὶ ἐπίφθονος <ὃ>ν λάχε δαίμων·*
νῦν δέ σε ὁσσπείρας καὶ ἥ <σε> τεκοῦσά τε μήτηρ
πενθοῦσιν, τὴν σὴν μολπὴν ζητοῦντες ἐν οἴκωι
καὶ τὴν σὴν ἡράτην, ἣν Ἀίδας κατέχει,
καὶ τοὺς ὑμήλικας, οἳ μετὰ σοῦ ἐγένοντο, εἰσορῶντες
κλαίουσιν μνήμηι· σὰ δὲ ὁσσταῖα καλύπτει.

* fort. *ἦλαχε.*

ΜΗΤΑCCΟΥ: *μετὰ σοῦ* (= *μετὰ σοῦ*)
ἢ *μητά σου*, σημερινὸ «μιτά σου»
(μὲ ἰωτακισμό, ἀντὶ τοῦ ἀρχικοῦ «μητά σου»).



ΑΠΟΛΛΩΝΙΟΥ ΚΙΤΙΕΩΣ ΤΗΣ ΠΕΡΙ ΑΡΘΡΩΝ ΠΡΑΓΜΑΤΕΙΑΣ <ΤΟ ΠΡΩΤΟΝ>

Π1.10

ΠΙΝ. VIII [ΕΙΚ. 17]:
Ἔμβολὴ ὤμου ἢ διὰ τοῦ δίφρου
(: μὲ τὴ χρήση δίφρου, μεγάλου Θεσσαλικοῦ καθίσματος)

Π2.2.24

ἃ δὴ οὕτως διὰ τῶν ἐξῆς καταγγίζειν παρακελεύεται (IV 130.15 Li.)· *ἐς εὐθὺ κατατείνοντα τὰ ἐξέχοντα ἀπωθεῖν ὀπίσω καὶ εἰς τὸ πλάγιον. ἡ γὰρ εἰς εὐθὺ τάσις ἀπο<κατά>στασιν τῶν ἄρθρων ποιεῖ, ὥστε ῥᾳδίως εἰς τὴν κατὰ φύσιν χώραν τὸ ἄρθρον παραγενέσθαι.*

24 *καταγγίζειν* L; it. Di. (adnotans: "idem quod *καταρτίζειν*"); dubit. iteravimus: *καταρτίζειν* Fickel Sch. KK.

Π1.9.11

ὀθονίῳ δὲ ἢ ταινίῃ μαλακῇ ἁπλῇ κατακεκολλή-σθω ἀκρόθεν τοῦ ξύλου, ὅπως προσηνέστερον ᾖ.

11 *τοῦ ξύλου* **prop. Blomquist; dubit. iteravimus;** *τω ξυλω* **L (fort. recte;** *τῷ ξύλῳ* **in Cypr. Dialecto =** *τοῦ ξύλου***):** *τὸ ξύλον* **sec. Hipp. (***ἄκρον τὸ ξύλον***) M, edd.**

Π1.11.12 = Β18.20

(…) ὅπως ἂν ἡ αὐτοῦ ὑπεροχὴ μὴ πρὸς τὰς πλευρὰς ἀλλὰ πρὸς τὸν ὦμον ἐντὸς ἐπιστρέφηται (…).

12 *αὐτοῦ* M p.c., Di. KK.: *αυτω* L (fort. recte; *αὐτῶ* in Cypr. Dialecto = *αὐτοῦ*)

Π1.11.12 = B18.20

(…) ὅπως ἂν ἡ αὐτοῦ ὑπεροχὴ μὴ πρὸς τὰς πλευρὰς ἀλλὰ πρὸς τὸν ὦμον ἐντὸς ἐπιστρέ-φηται (…).

12 *αὐτοῦ* M p.c., Di. KK.: *αυτω* L (fort. recte; *αὐτῶ* in Cypr. Dialecto = *αὐτοῦ*)

Π1.2.29

τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ὁ ἰατρὸς ἂν ἐμβάλλοι, εἰ αὐτὸς μὲν ὑπὸ τὴν μασχάλην ἐσωτέρω τοῦ ἄρθρου ὑποβάλλοι τοὺς δακτύλους, (...) *τοῖς δὲ γούνασι παρὰ τὸν ἀγκῶνα τὸν βραχίονα ἐμβάλλων ἀντωθέοι πρὸς τὰς πλευράς* (...).

29 *γούνασι* **Hipp., Di. (pro "***δὲ τῷ ἄνω***") et Sch.; dubit. iteravimus (fort.** *γώνασι***, pro** *γούνασι***); *γόνασι* prop. Alpers et Blomq.:** *τω ανω* **L**

* *γώνασι* (ἀντὶ *γούνασι*) > *τω ανω* **L**

Π1.10.20

τὰ δὲ ἑξῆς οὕτως ὑπογέγραφεν (IV 92.10 Li.)· *πάνυ μὴν ἱκανῶς ἔχει* (...).

20 *πάνυ* sec. Hipp. et M scr. edd.; dubit. iteravimus: *πανου* L (*πᾶν ου* leg. Sch.,et Kw.); num *πάνου* pro*πάνυ*? (cf. *Κοῦπρις* [pro *Κύπρις*], al. sim.).

Μπορεῖ νὰ παραβάλει κανεὶς τοὺς νεώτερους κυπριακοὺς διαλεκτικοὺς τύπους:
► *τὴν κύνα* > τὴν κούνα > ὀνομαστικὴ ἡ κούνα (καὶ ἀρσ. ὁ κοῦνος, καὶ ὁ κουνόσκυλλος
► *μύτη* > μούττη
► *πίτυς* > πιτούιν [ὑποκορ.: μικρὸ πεῦκο], κ.τ.τ.).

ΚΟΡΔΥΛΗ

(Κύπρος, 11ος αἰ. π.Χ.)

B17: 30/*33. F3

κορδύλη *ἰδίως λέγεται τὸ ἐν τῇ κεφαλῇ ὑπερεξέχον οἴδημα (...). Κρέων δὲ ἐν τῷ πρώτῳ τῶν Κυπριακῶν κορδύλην φησὶ καλεῖσθαι τὸ πρὸς κεφαλῇ προσείλημα* [: σκουφί], *ὃ δὴ παρὰ Ἀθηναίοις καλεῖται κρώβυλον, παρὰ δὲ Πέρσαις κιδάριον (...).*

Κορδύλη **(: kordula) νεώτ. Κυπρ. κουρτούλ(λ)α καὶ κουρτούλ(λ)ιν**

Κλέαρχος F3 / B80 (Ἀθήναιος 9.48, 393ab): οἱ κολιοί

Καὶ περὶ τῶν κολοιῶν δὲ καλουμένων τὰ ὅμοια ἱστορεῖ, ἐν τούτοις· «Καὶ τοῖς κολιοῖς δὲ διὰ τὴν φυσικὴν φιλοστοργίαν, καίπερ τοσοῦτον πανουργίᾳ διαφέρουσιν, ὅμως ὅταν ἐλαίου κρατὴρ τεθῇ πλήρης, οἱ στάντες αὐτῶν ἐπὶ τὸ χεῖλος καὶ καταβλέψαντες ἐπὶ τὸν ἐμφαινόμενον, καταράττουσι. διόπερ ἐλαιοβρόχων γενομένων, ἡ τῶν πτερῶν αὐτῶν συγκόλλησις αἰτία γίνεται τῆς ἁλώσεως.»

Καὶ γιὰ τὶς λεγόμενες κάργιες [: τοὺς «κολλιούς»] παρόμοια διηγεῖται μὲ τὴν ἀκόλουθη διατύπωση: «Καὶ μὲ τὶς κάργιες, ἐπειδὴ ἔχουν ἔμφυτη ἔλξη γιὰ τὸ εἶδος τους, παρότι ὑπερέχουν κατὰ πολὺ στὴν πανουργία, ὅμως, ὅταν τοποθετηθεῖ μπροστά τους μία κούπα γεμάτη λάδι, ὅσες ἀπ' αὐτὲς σταθοῦν στὸ χεῖλος καὶ κοιτάξουν κάτω, ὁρμοῦν πρὸς τὸ εἴδωλο. Ἔτσι λοιπόν, λαδωμένες ὅπως εἶναι, μποροῦν νὰ πιαστοῦν, ἀφοῦ τὰ φτερά τους ἔχουν κολλήσει ἀπὸ τὸ λάδι».

Σημαντική είναι η παρουσία στοιχείων της Αρκαδοκυπριακής στον Όμηρο, με συχνούς τους Κυπριακούς τύπους (*εἶαρ - ἔαρ* [και *ἦαρ, ἴαρ*] = *αἷμα, θρόνα = τὰ ἀνθινὰ ἱμάτια - τὰ ἐκ χρωμάτων ποικίλματα, κασίγνητος = ἀδελφός, κέραμος = δεσμωτήριον, μόρον = ὀξύ* [πβ. *ἰόμωροι, ὑλακόμωροι*], *πάσσειν = ποικίλλειν, πρύλις = πυρρίχη* [χορός ενόπλων, πβ. *πρυλέες* = ένοπλοι], *χάριτες* [: *Μακεδόνες καὶ Κύπριοι λέγουσι τὰς συνεστραμμένας καὶ οὔλας μυρσίνας, ἅς φαμεν στεφανίτιδας*, κατά τον αρχαίο σχολιαστή], *πτόλις = πόλις, πτόλεμος = πόλεμος, φιτρῶν καὶ λάων = κορμῶν καὶ λίθων* κ.ά.).

ΕΥΚΛΟ(Υ)Σ. ΔΙΑΛΕΚΤΙΚΟΙ ΤΥΠΟΙ

2 F3. Schol. Plat. *Hipp. Ma.* 295a

Ἆ περισπασθὲν δηλοῖ εἶθε* (...) *καὶ τὸ ὦ ἄρθρον* (...) *καὶ τὸ πολὺ καὶ μέγα* (...). *εἰ δὲ ψιλωθείη περισπασθέν, τὸ νῦν σημαίνει, ὡς ἐν Εὔκλου τοῦ χρησμο-λόγου ποιήμασιν. βραχέως δὲ καὶ ψιλῶς σημαίνει ἀπόφασιν ἀρνητικήν.

Σχόλ. Πλάτ. *Ἵππ. Μείζ.* 295a

Τὸ *ἆ* μὲ περισπωμένη δηλώνει τὸ *εἶθε* (...) καὶ τὸ ἄρθρο *ὦ* (...) καὶ τὸ πολὺ καὶ μεγάλο. Μὲ ψιλὴ καὶ περισπωμένη σημαίνει τὸ τώρα, ὅπως στὰ ποιήματα τοῦ Εὔκλου τοῦ χρησμολόγου. Βραχὺ καὶ μὲ ψιλὴ σημαίνει ἀπόφανση ἀρνητική.

Πβ. Φώτ. *Λεξ.* σ.λ. *Α* (*α* 1): μὲ τὰ ἴδια περίπου λόγια, παραλειπομένου ὅμως μεταξὺ ἄλλων τοῦ ὀνόματος τοῦ Εὔκλου· βλ. ἐπίσης Cramer *Anecd. Gr. Par.* IV 83: τὰ ἴδια περίπου, μὲ ἄλλη ὅμως σειρά [«ἀβέβαιο ἂν ἀπὸ τὸν Βόηθο (Cohn σελ. 800, Wolf σελ. 85)», παρατηρεῖ ὁ Greene σελ. 176].

2 *F4a. Hesych. s.v. *ἀνύξιον· ἄτρωτον. Εὔκλος.*

Ἡσύχ. σ.λ. *ἀνύξιον*· ἄτρωτο. Εὔκλος.

2 *F4b. Hesych. s.v. *αὐεοῦλλαι· ἄελλαι, παρὰ Ε<ὔ>κλωι.*

Ἡσύχ. σ.λ. *αὐεοῦλλαι*· θύελλες, στὸν Εὔκλο.

2 F5. Hesych. s.v. *γάλας· γῆς, παρὰ Εὔκλωι.*

Ἡσύχ. σ.λ. *γάλας*· *γῆς*, στὸν Εὔκλο.

[**Ἡ προφανῶς ἐσφαλμένη γραφὴ *Εὐκλίτω* (πβ. ἀνωτ. T2 *Εὐμίκλου* καὶ *F4a *Εὐκλείδης*, κατωτ. F9 *εὔκε*, κ.τ.τ.) ὀρθῶς διορθώθηκε ἀπὸ τὸν Salmasius. Ἡ δὲ γραφὴ *γάλας· γῆ* (ὀνομαστική) πρέπει πιθανὸν νὰ γραφεῖ ὡς *γάλας· γῆς* (γενική) καὶ νὰ συνδεθεῖ μὲ τὰ τοῦ Ἡσυχ. *γαλάσιον· ἐνηρόσιον* καὶ *γάνα· χέρσος, γῆ*, ἴσως δὲ καὶ μὲ τὸ *γάνος· παράδεισος* (πβ. *Μ. Ἐτυμ.* σ.λ. [*γάνος*, 223.47]: *ὑπὸ δὲ Κυπρίων παράδεισος*).

2 *F6. Hesych. s.v. *Εἰτισκαί· Πηγαί, παρὰ τῶι Εὔκλωι.*

Ἡσύχ. σ.λ. *Εἰτισκαί· Πηγαί*, στὸν Εὔκλο.

2 F7. Hesych. s.v. *κακόρας· κατακόψας, παρὰ Εὔκλωι.*

[Τὸ *Εὔκλωι* στὸ ἐδῶ καὶ στὸ ἑπόμενο λῆμμα, ἀντὶ τοῦ ΕΥΗΛΩ (F7) καὶ τοῦ ΕΥΗΛΩΝ (F8) τῆς χειρό-γραφης παράδοσης, ὀφείλεται στὸν Salmasius· ἡ διόρθωση εἶναι εὐεξήγητη παλαιογραφικὰ καὶ εὔλογα γίνεται ἀποδεκτή. Ἀντίθετα, πολλὲς συζητήσεις ἔχουν προκαλέσει οἱ γραφὲς *κακόρας* καὶ *καπατάς*.]

2 F8. Hesych. s.v. *καπατάς· καθορῶν, παρὰ Εὔκλωι.*

2 F9. Hesych. s.v. *Πελάνα· ἡ Σαλαμὶς ἐν τοῖς Εὔκλου χρησμοῖς.*

[Οἱ ἐκδότες συμφωνοῦν στὴ διόρθωση τοῦ ἐδῶ *εὖκε σὲ Εὔκλου* καὶ τοῦ κατωτ. *σκυδάσκια εὔκλος σὲ σκυδά· σκιά. Εὖκλος*. – Σὲ ποιούς χρησμοὺς τοῦ Κύπριου ποιητῆ γινόταν ἀναφορὰ στὸ *Πελάνα* (ἀντὶ τοῦ *Σαλαμίς*), δὲν ἀναφέρεται· εὔλογα ἔρχεται στὸν νοῦ ὁ χρησμὸς γιὰ ἐπίθεση βαρβάρων κατὰ τῆς Ἑλλάδος.]

2 F10. Hesych. s.v. *σκυδά· σκιά. Εὖκλος.*

Εκπληκτική είναι η επιβίωση πανάρχαιων γλωσσικών στοιχείων στη σημερινή Κυπριακή διάλεκτο: προσωδιακή προφορά και προφορά του δίγαμμα· σύστοιχα αντικείμενα (έθελες πολλά! = ζητάς πολλά – θα τό ’θελες πολύ!)· διπλά σύμφωνα (συχνά κατά πλεονασμό), ακόμα και στην αρχή λέξεων: κκότσιν (κότσι, αστράγαλος), ππέφτω (= πέφτω, πίπτω) και ππέσιμον, ππούφφος (= τόσο αδύνατος που με το ππούφφου πέφτει), ττάβλιν, ττακκουρώ (= κροτώ: ττάκκα), Ττοφής (ο Χριστοφής), κ.τ.τ.

προφορά *υ > ου* (μύτη > μούττη, την κύνα [τη σκύλα, στην Κυπριακή προφορά:] > την κούνα, απ' όπου ονομαστικήη κούνα και αρσ. ο κούνος = *ό κύων*, ο σκύλος, το τεμπελόσκυλο [από τη συνηθισμένη στην Κύπρο εικόνα του σκύλου του νωχελικά ξαπλωμένου κάτω τις ζεστές καλοκαιρινές μέρες], και γενικά ο τεμπέλης, έννοια που επικρατεί στο τέλος, ώστε να πλαστεί νέα λέξη –σύνθετη– για το τεμπελόσκυλο [κυριολεκτικά και μεταφορικά]: ο κουνόσιυλλος [πβ. τα Ομηρικά *ἐξ ἐμέθεν*, *εἰνάνυχας νύκτας*, *αἰγίλιπος πέτρης* [όπου *λίψ* = *πέτρα*] κ.τ.τ., πβ. επίσης τα Νεοελληνικά σπιτονυκοκύρης, οικοδεσπότης, κ.ά.)· *ο > ου* (όλοι > ούλλοι).

ε στη θέση μακρού *ε*, που εδώ και χιλιετίες αποδίδεται κανονικά με το *η* (μεν = μην, μεμ πεις = μην πεις)· απαρεμφατικοί τύποι αντί ουσ. (*ἰδεῖν* > το δειν = *τὸ ὁρᾶν* και το βλέμμα, το πείν, το φαγείν κ.τ.τ.)· οξεία στην παραλήγουσα σε ονόματα με κατάληξη *–οι*, λογιζόμενη ως μακρόχρονη, όπως στον Όμηρο κ.α. (ανθρώποι - αθρώποι και αδρώποι, αντί άνθρωποι, δημάρχοι κ.τ.τ.)· αποκοπή προθέσεων (αντινάσσω = ανατινάσσω, ασκοπώ = ανα-σκοπώ, αντρόσιν = ανατρόχιον [Αιολικό χαρακτηριστικό της Ομηρικής γλώσσας: ἂν δ’ Ἀγαμέμνων ἵστατο κ.τ.τ.)· τύποι όπως εγ(ι)ώνη και εσούνη (εγώ / εσύ), χαμαί και δαμαί, πόπαστον (από-παστον = επιδόρπιο, Ομηρ. *πάσασθαι* = να φας), άνου (*ἄνα*, και άνου πάνου: σήκω επάνω), ανηψιός (*ἀνεψιός*, εξάδελφος: όπως στον Όμηρο, όχι παιδί αδελφού, που εδώ λέγεται αδελφότεκνος – αδελφότεκνη), *βουρώ* (< *οὐρίζω*, *οὖριος*, τρέχω), γοιόν (<*οἷον*, όπως), έππαλαι (*ἔκπαλαι*), κωλυώ (<*κωλύω*, κωλυεί με: με εμποδίζει).

μάτιν (*ἱμά-τιον*), λυχναφής (*περὶ λύχνων ἁφάς*, όταν ανάβουν τα λυχνάρια, το βράδυ), παίζω (*παίω*, κτυπώ, πυροβολώ), πιτ(ο)ύδιν (υποκοριστικό του *πίτυς*, μικρό πεύκο), ξιστηκός (<*ἐξεστηκώς* = έκθαμβος, και ξιστητζιή = έκθαμβη), ξορτώννω (<*ἐξορθόω*, κατορθώνω), ορτσιέται (*ὀρχεῖται*, χορεύει), συντυ-χάννω (*συντυγχάνω*, συνομιλώ, ομιλώ), ψυντρός (<*ψυδρός* και *ψυδνός*, μικρός και λεπτός) ή ψηντρός (<*ψεδνός*), μητά σου (<*μετὰ σοῦ*, μαζί σου, που απαντά εντυπωσιακά στο επίγραμμα Ε49 από την Πάφο του 3ου μ. Χ. αι. ως *μητά σσου* ή *μητὰ σσοῦ*, μαζί με τους τύπους *ὁ σσπείρας* και *ὁσστᾶ* [με διπλό αντί απλού σίγμα προ συμφώνου, ακόμα και στην αρχή λέξεων, όπως και σήμερα στην Κυπριακή διάλεκτο], και μαζί με τον πανάρχαιο τύπο *ὑμήλικας*, αντί *ὁμήλικας*), ο μηδότας (ὁ μὴ εἰδώς), κ. ά. πολλά. Αξιοσημείωτη είναι και η κατάληξη *-ασιν* (γ΄ πληθ. οριστ. ενεστ., κατάληξη ρημ. *-μι* «ανώμαλων» από αρχαιοτάτων χρόνων), επανα-λαμβανόμενη στο γνωστό Κυπριακό δημοτικό τραγούδι «Τέσσερα παλληκάρκα».

Λυκόφρων, Ἀλεξάνδρα 586-591

Κηφεὺς καὶ Πράξανδρος
πέμπτοι τέταρτοι γαῖαν ἕξονται θεᾶς |
Γόλγων ἀνάσσης, ὧν ὁ μὲν Λάκων' ὄχλον |
ἄγων Θεράπνης, θάτερος δ' ἀπ' Ὠλένου |
Δύμης τε καὶ Βουραίοισιν ἡγεμὼν στρατοῦ.

Παυσανίας 7.2.1 / 7.25.5 κ.ἑξ.:

Δύμη μὲν πρὸς Ἤλιδος πρώτη,
μετὰ δὲ αὐτὴν Ὤλενος (...) καὶ Τρίτεια (...)
καὶ Ἄγιον καὶ Κερύνεια
καὶ Βοῦραι (καὶ ἡ Βούρα καὶ τὰ Βοῦρα),
ἐπὶ ταύταις δὲ Ἑλίκη
καὶ Ἀἰγαί τε καὶ Ἄγειρα καὶ Πελλήνη. (...)

μετὰ δὲ Ἑλίκην (...)
ἥξεις εἰς πόλισμα Κερύνειαν (...)
ὑπὲρ τὴν λεωφόρον ἐν ὄρει,
καί οἱ τὸ ὄνομα ἡ δυνάστης ἐπιχώριος
ἢ ὁ Κερυνίτης ποταμὸς πεποίηκεν.

Λυκόφρων, *Ἀλεξάνδρα* 447-491

Οἱ πέντε
(κύριοι οἰκισταὶ τῆς Κύπρου)
Σάτραχον βλώξαντες
Ὑλάτου τε γῆν,
Μορφὼ παροικήσουσι (...).

450-478 *Τεῦκρος ὁ Τελαμώνιος*
479-493 *Ἀγαπήνωρ ὁ Ἀρκάς*
494-585 *Ἀκάμας ὁ Θησέως*

586-591 *Κηφεὺς* καὶ *Πράξανδρος*
(...) *ὁ μὲν Λάκων' ὄχλον |*
ἄγων Θεράπνης, θάτερος
δ' ἀπ' Ὠλένου | Δύμης τε
καὶ Βουραίοισιν ἡγεμὼν στρατοῦ



Η ΑΦΡΟΔΙΤΗΣ ΜΟΡΦΟΥ

Παυσανίας 7.2.1 / 7.25.5 κ.ἑξ.:

Δύμη μὲν πρὸς Ἤλιδος πρώτη,
μετὰ δὲ αὐτὴν Ὤλενος (...) καὶ Τρίτεια (...)
καὶ Αἴγιον καὶ Κερύνεια
καὶ Βοῦραι (και ἡ Βούρα καὶ τὰ Βοῦρα),
ἐπὶ ταύταις δὲ Ἑλίκη
καὶ Αἰγαί τε καὶ Αἴγειρα καὶ Πελλήνη. (...)

μετὰ δὲ Ἑλίκην (...)
ἥξεις εἰς πόλισμα Κερύνειαν (...)
ὑπὲρ τὴν λεωφόρον ἐν ὄρει,
καί οἱ τὸ ὄνομα ἡ δυνάστης ἐπιχώριος
ἢ ὁ Κερυνίτης ποταμὸς πεποίηκεν.

ΠΑΝΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ ΤΟΠΩΝΥΜΙΑ

Μούττη τοῦ Δκιᾶ (: Κορφὴ τοῦ Δία)
καὶ *Γκρεμμὸς τῆς Ἔρας* (: τῆς Ἥρας)
ΒΑΣΑ καὶ ΓΕΡΟΒΑΣΑ καὶ ΓΕΡΑΣΑ / *Βᾶσσαι, Βῆσσα*

Δύμη / Δῦμες καὶ *Τύμη* [*τὴν Δύμην > τὴν Τύμην, ἡ Τύμη*]
Βοῦραι (καὶ *ἡ Βούρα – τὰ Βοῦρα*) / *Βοῦρα* [*Βοόσουρα*]
Αἰγιαλός, Αἰγιάλεια / Ἀχαΐα
Αἴγιον / Αἰγιαλοῦσα > Γιαλοῦσα καὶ *Γιαλιά*
Κρᾶθις / Κρᾶθος | *Δρέπανον* / -ον [*Δρέπανος* καὶ *Δρεπάνι*]
Ἑλίκη / Ἑλίκη, Ἑλίκες καὶ *Ἑλίκι*
Πελλήνη (Κορινθ.): *Πελ(λ)άνα* (Λακων.)
Πελάνα· ἡ Σαλαμὶς ἐν τοῖς Εὔκλου χρησμοῖς
Τρίτεια / Τρίτος – Τρητός / Τρῆτοι, Τρήτα
Πάτρα / Πατροῦ (καὶ Πατρίκι)
Ἀκράτα / Ἀκράδες (κ.τ.τ.).

Λ ά π η θ ο ς – Λ ά π ι θ ο ς

(καὶ *Λάπαθος – Λάπεθος*)

Λακώνων κτίσμα καὶ Πραξάνδρου (…).

Θυμάται κανείς και τοὺς *Λ α π ί θ α ς*

καὶ τὴ μάχη τους μὲ τοὺς Κενταύρους,

τὸ *Λ α π ί θ α ι ο ν καλούμενον ἀπὸ ἀνδρὸς*

ἐγχωρίου Λαπίθου … ἐν τῷ Ταϋγέτῳ

καὶ τὸ *ὄ ρ ο ς Λ α π ί θ η ς τῆς Λακωνίας*,

καὶ τὸν *Λ ά π ι θ ο ν* ποὺ συνέπλευσε

μὲ τοὺς Ἀργοναῦτες, κ.τ.τ.



Αίπεια / Σόλοι:
το Αρχαίο Θέατρο

Αἴπεια πόλις Λακωνικῆς, (…)
οὕτω καὶ ἡ Κύπρου. γ' Κρήτης (…)

Στέφανος Βυζάντιος, *Ἐθνικά* 131.11

Ἀσίνη· πόλις Λακωνικὴ ἀπὸ Ἀσίνης θυγατρὸς Λακεδαίμονος. δευτέρα Μεσσήνης παρὰ τὴν Λακωνικήν, οἰκισθεῖσα ὑπὸ Ἀργείων. τρίτη Κύπρου. τετάρτη Κιλικίας. (...)

Η ΠΑΝΑΓΙΑ ΤΗΣ ΑΣΙΝΟΥ

Parrhasia
Phigalia
Andania
Cyparissiae
Cyparissium
Mt. Ithome
Messene
Stenyclarus
MESSENIA
LACEDAE
Platamodes Pr.
Prote
Pharae
Pylus
Coryphasium Pr.
Corone
Abia
Mathia
ΑΙΠΕΙΑ
Methone
Colonidia
Asine
ΑΣΙΝΗ
Acritas Pr.
Oenussae Is.
GULF OF MESSENIA
Cardamyle
Pephnos

Λυκόφρονος *Ἀλεξάνδρα* 447-49
(...) *Μορφὼ παροικήσουσι.*

Τὸ ὄνομα τῆς Μόρφου μόνο σὲ συνδυα-σμὸ μὲ τὸ ὄνομα τῆς *Μορφοῦς Ἀφροδίτης* μπορεῖ νὰ ἐξηγηθεῖ ἐπαρκῶς (: ἡ *Μορφώ*, τῆς *Μορφοῦς* [τῆς *Μόρφους*] > τῆς Μόρ-φου > ἡ *Μόρφου*), ὅπως φαίνεται καὶ ἀπὸ τὴ συχνότατη ἐμφάνιση τύπων σὲ *-ο* στοὺς παλαιοὺς χάρτες : Morpho, Morfo, Miorpho, Morso (κ.τ.τ.) ἀλλὰ μόνοMirtu, Linu (κ.τ.τ.)· ἡ ὑπόθεση πὼς ἡ ὀνομασία *Μόρφου* προῆλθε ἀπὸ τὸ *Θεομόρφου* (: *ἡ τῆς Θεομόρφου* ἢ *τοῦ Θεομόρφου πόλις*) δὲν μπορεῖ νὰ ἑρμηνεύσει ἀφ' ἑαυτῆς ὅλα τὰ σχετικὰ δεδομένα.



Ζοιτία – Ζοίτεια καὶ Ζοίτειον

(οι, προφορά: όϊ) > *Ζωνάτι – Ζουνάτι, Ζώνη*

(ω > ου, πβ. *ὅλοι* > οὖλ(λ)οι)

Ἡσύχιος: *Ζωτεάτας· Ἀπόλλων ἐν Ἄργει, ἀπὸ τόπου* (οι > ω).

ICS 294 (Κυπροσυλλαβική ἐπιγραφὴ Γόλγων):

Γάμαλκος (?) *Ζωτέ(α) ἀνέθηκε Ἀπόλ(λ)ωνι*

Λεόντιος Μαχαιράς (*Χρονικόν* 32): *Ζωτία*

Σὲ παλαιοὺς χάρτες:

Zotia καὶ *Zothia*, *Zoties* καὶ *Zothies*

(καὶ *Zoditi*), ἀλλὰ καὶ *Zona* (δηλαδή *Ζώνη*)

Ζωτία – Ζώτεια > *Ζώτκια – Ζώδκια – Ζώθκια*

(τ, δ, θ) > *Ζώδια* («ζώθκια», ξωτικά)

Ἡσύχιος: ***Ζωτεάτας· Ἀπόλλων ἐν Ἄργει, ἀπὸ τόπου (οι > ω).***

***ICS* 294 (Κυπροσυλλαβικὴ ἐπιγραφὴ Γόλγων):**
Γάμαλκος (?) Ζωτέ(α) ἀνέθηκε Ἀπόλ(λ)ωνι
δηλαδή: ο Γάμαλκος ο γιος του Ζωτέα έκανε το τάμα στον Απόλλωνα ή ο Γάμαλκος έκανε το τάμα στον Ζωτεάτα Απόλλωνα

***ICS* 287 (Κυπροσυλλαβικὴ ἐπιγραφὴ Γόλγων):**
***ἀρὰ ἀ Νάω*, δηλ. ἡ εὐχή / τὸ τάμα τοῦ Νάου,**
στὸν Ἀπόλλωνα πιθανῶς τῆς *Ζωτ(ε)ίας,*
(Ἴσως: στὸν *Νάϊον* ἢ *Νᾶον* Δία).

Κομήτης καὶ *Ναός* : ὀνόματα μυθικῶν Πελοποννήσιων ἡρώων

Ναός : νάω (ρέω), *νάματα, ἀέναος, Ναϊάδες* καὶ *Νηρηίδες, Ναϊάς*: Λακωνικὴ πηγή. *(ICS* 287): *ἀρὰ ἀ Νάω.)*

Γερανός : *Γεράνιος ποταμὸς* Πύλου (καὶ *Γέρανος τόπος, Γερήνιος Νέστωρ*), *Ἀγερανός* καὶ *Γοράνοι* Λακωνίας.
Μ. Ἐτυμ. 227.52 (κ.ἀ.): *γέρανος· ὁ ὄμβρος* (δηλ. ἡ βροχή), *παρὰ τὸ τὴν γῆν ῥαίνειν*.

Ζοιτία καὶ *Ζοίτεια*, καὶ *Ζοίτ(ε)ιον* (μὲ το *οι* ἀποδιδόμενο παλιὰ ὡς *όϊ / ώϊ*, ἄρα καὶ: *Ζωτία*, *Ζώτεια*, *Ζώτ(ε)ιον*), εἶναι *χωρίον* τῆς *Ἀρκαδίας*, ποὺ ὀφείλει τὸ ὄνομά του κατὰ τὴν παράδοση στὸν *Ζοιτέα* (: Ζωτέα) τὸν γιὸ τοῦ Τρικόλωνου.

Κατὰ τὸν Παυσανία (στὰ *Ἀρκαδικά* του):
(...) *Ζοιτίαν* (...) *Ζοιτέα οἰκίσαι τὸν Τρικολώνου λέγουσι· Παρωρεὺς δὲ ὁ νεώτερος Τρικολώνου τῶν παίδων Παρωρίαν καὶ οὗτος ἔκτισεν, ἀπέχουσαν Ζοιτίας σταδίους δέκα. ἔρημοι δὲ ἑς ἑμὲ ἀμφότεραι* (...).

Κατὰ δὲ τὸν Στέφανο Βυζάντιο:
Ζοίτειον, πόλις Ἀρκαδίας (...). *λέγεται καὶ Ζοίτεια, ἀπὸ Ζοιτέως. τὸ ἐθνικὸν παρὰ τὸ Ζοίτειον Ζοιτιεύς, παρὰ δὲ τὴν Ζοίτειαν Ζοιτεύς.*

Ὁ συνδυασμὸς τῶν ἀνωτέρω φαίνεται ἀναπόφευκτος. Καὶ ἡ ἵδρυση τῆς κυπριακῆς *Ζωτ(ε)ίας* ἀπὸ *Ζοιτιεῖς* οἰκιστὲς προβάλλει ὡς ἀσφαλὲς συμπέρασμα, ἐνισχυόμενο ἀπὸ τὸ γεγονός ὅτι ἡ ἐκκλησία τοῦ Ἀρχαγγέλου Μιχαὴλ στὴν Πάνω Ζώτεια (*Ζωτία* στὸν Λεόντιο Μαχαιρᾶ) μὲ τὸ «τζιόνι» (τμῆμα ἀρχαίου κίονα) στὸ προαύλιό του, εἶναι κτισμένος μὲ ὑλικὰ –καὶ ἴσως στὴ θέση– ἀρχαίου ναοῦ, πιθανῶς τοῦ *Ζωτεάτα Ἀπόλλωνος*.

Ἀξίζει νὰ σημειωθεῖ ὅτι ἡ *Ζοιτία – Ζοίτεια* ἢ *Ζοίτειον* βρισκόταν στὰ ἀνατολικὰ τῆς μικρῆς πεδιάδας τοῦ χωριοῦ Ζώνη, τοῦ ὁποίου τὸ παλαιότερο ὄνομα Ζωνάτι / Ζουνάτι (προφανῶς «ἐξευγενισμένο» σὲ Ζώνη, ὅπως τὸ Ζώθκια σὲ Ζώδια) θυμίζει την αρχαία τοπωνυμία· καὶ ὅτι σὲ παλαιούς χάρτες δίνεται γιὰ τὴν κυπριακὴ Ζώτ(ε)ια τὸ ὄνομα Zona (δηλ. Ζώνη), ἀντὶ τῶν Zot(h)ia καὶ Zot(h)ies (καὶ Zoditi [πβ. Ζωνάτι], ἐκ παραφθορᾶς, ὅπως Ἀμμόχωστος - Famagusta κ.τ.τ.).

Ζοι- (προφορά: οϊ > ω) > Ζωνάτι – Ζουνάτι
(ω > ου, πβ. *ὅλοι* > οὖλ(λ)οι) ⇒ Ζώνη

ΠΡΟΛΕΓΟΜΕΝΑ
ΣΤΗΝ ΑΡΧΑΙΑ ΚΥΠΡΙΑΚΗ ΓΡΑΜΜΑΤΕΙΑ

Ὅ,τι σώζεται ἀπὸ τὴν ἔντεχνη
Ἀρχαία Κυπριακή Γραμματεία,
σὲ ποιητικὸ ἢ σὲ πεζὸ λόγο
–μὲ ἐλάχιστες ἐξαιρέσεις φοινικικῶν
καὶ λατινικῶν πεζῶν ἐπιγραφῶν–
εἶναι γραμμένο στὴν ΕΛΛΗΝΙΚΗ ΓΛΩΣΣΑ
καὶ ἐμφανίζει τὰ ἴδια γενικὰ καὶ εἰδικὰ
χαρακτηριστικὰ μὲ τὴν ἀντίστοιχη πνευματικὴ
παραγωγὴ κάθε ἄλλης ἑλληνικῆς γωνιᾶς,
τόσο στὴ μορφὴ ὅσο καὶ στὸ περιεχόμενο,
ὥστε ἡ Ἱστορία τῆς Ἀρχαίας Κυπριακῆς Γραμματείας
νὰ ταυτίζεται σχεδὸν πλήρως
μὲ τὴν Ἱστορία τῆς Ἑλληνικῆς Γραμματείας
στὴν Ἀρχαία Κύπρο. (...)